ἐπιστέλλοντα, χαίρειν προσθεῖναι, ὅπερ γέγονεν ἐν χρήσει. Πλάτων μέντοι ἐν ἀρχῇ τῶν ἐπιστολῶν τὸ εὖ πράττειν προὔθηκεν. οἱ δὲ Πυθαγόρειοι τὸ ὑγιαίνειν. καὶ τό γε τριπλοῦν τρίγωνον, τὸ δι' ἀλλήλων τὸ πεντάγραμμον ᾧ

A συμβόλῳ πρὸς τοὺς ὁμοδόξους ἐχρῶντο, ὑγεία πρὸς αὐτῶν ὀνομάζετο. ἄλλως. ἀρχαῖον ἦν ἔθος προστάσσειν ἐν ταῖς ἐπιστολαῖς χαίρειν. οὐ γὰρ ὥς τινες Κλέων ἐστὶ πρῶτος ἀπέστειλεν Ἀθηναίοις ἐκ Σφακτηρείας.

Ἀλλά τ' εὖ δρᾶν φησιν ὑμᾶς, κοὐκ ἄγειν τὰς ἡμέρας
Οὐδὲν ὀρθῶς, ἀλλ' ἄνω τε καὶ κάτω κυδοιδοπᾶν.
Ὥστ' ἀπειλεῖν φησιν αὐτῇ τοὺς θεοὺς ἑκάστοτε,
Ἡνίκ' ἂν ψευσθῶσι δείπνου, κἀπίωσιν οἴκαδε,
Τῆς ἑορτῆς μὴ τυχόντες κατὰ λόγον τῶν ἡμερῶν.
Κᾆθ', ὅταν θύειν δέῃ, στρεβλοῦτε καὶ δικάζετε.
Πολλάκις δ' ἡμῶν ἀγόντων τῶν θεῶν ἀπαστίαν,
Ἡνίκ' ἂν πενθῶμεν, ἢ τὸν Μέμνον', ἢ τὸν Σαρπηδόνα,
Σπένδεθ' ὑμεῖς, καὶ γελᾶτ', ἀνθ' ὧν λαχὼν Ὑπέρβολος
Τῆτες ἱερομνημονεῖν, κἄπειθ' ὑφ' ἡμῶν τῶν θεῶν
Τὸν στέφανον ἀφῃρέθη. μᾶλλον γὰρ οὕτως εἴσεται
Κατὰ σελήνην ὡς ἄγειν χρὴ τοῦ βίου τὰς ἡμέρας.

*Alia vos benè facere dicit: at nullos rectè dies*
*Transigere: sed hic sursum atque deorsum confundere omnia.*
B *Ac proinde sibi minari ait Deos subinde: cùm*
*Frustrantur conuiuio, & domum redeunt, festi sui*
*Compotes non redditi, iuxta dierum idoneam*
*Rationem: Sed & cùm sacrificare oportet, vos reos*
*Quæstioni accipitis, & iudicia exercetis fori.*
C *Sæpè autem cùm nos Deæ ieiunamus ieiunium:*
*Quando nimirum lugemus Memnona, aut Sarpedonem,*
*Ibi vos libatis vel etiam ridetis, quòd Hyperbolus,*
*Hoc anno designatus scriba sacrorum, à nobis fuit*
D *Iterum priuatus corona: nam sic citiùs scierit,*
*Quòd dies vitæ ipsum oporteat ad Lunam traducere.*

Σχόλια. Ἀλλά τ' εὖ δρᾶν.] καὶ εἰς ἄλλα φησὶν ἡμᾶς εὐεργετεῖν. οὐ παρατηρεῖν δὲ ὑμᾶς ἀκριβῶς τὰς κατὰ σελήνην ἡμέρας. Κυδοιδοπᾶν.] συνταράττειν. γίνεται δὲ ἐξ ἑκατέρου. ἐὰν μὲν διὰ τοῦ κ παρὰ τὸ κυκᾶν. ἐὰν δὲ διὰ τοῦ δ, παρὰ τὸν κυδοιμόν.

E Bisetvs. Κυδοιδοπᾶν] Σ. κυδοιμὸς, ὁ τάραχος, ὁ θόρυβος. κυδοιμεῖν, θορυβεῖν. τῇ αὐτῇ λέξει καὶ ἐν τῇ Εἰρήνῃ ὁ ποιητὴς ἐχρήσατο.

Σχόλια. Ψευσθῶσιν.] ἀποτύχωσιν ἢ μὴ δέξωνται τὰς θυσίας εὐτάκτως. Κατὰ λόγον τῶν ἡμερῶν.] διὰ γὰρ τὸ πλανᾶσθαι τὴν τάξιν τῶν ἡμερῶν, ὑπερβαίνειν τὰς δεήσεις καὶ τὰς ἑορτὰς ἀνάγκη. Ἀπαστίαν.] ἀγευστίαν παρὰ τὸ πάσασθαι. Μέμνονα] Μέμνων δὲ καὶ Σαρπηδὼν υἱοὶ ὄντες Διὸς, ἀποθανόντες ἐν Τροίᾳ οὕτω παρὰ θεοῖς ἐτιμήθησαν τοῦ πατρὸς νομοθετήσαντος, ὡς τὴν ἡμέραν καθ' ἣν ἀπέθανον ἐν πένθει καὶ νηστείᾳ τοὺς θεοὺς διάγειν κατ' ἔτος. F Λαχὼν Ὑπέρβολος] εἰς τὴν σύνοδον τῶν Ἀμφικτυόνων πεμφθῆναι εἰς τὴν Πυλαίαν. κατὰ πόλιν δ' ἔπεμπον τοὺς θύσοντας. καὶ συνεδρεύσοντας. καὶ ἦσαν οἱ πεμπόμενοι Πυλαγόραι καὶ Ἱερομνήμονες. λέγουσι δὲ ὅτι Πυλάδης πρῶτος ἐκεῖθεν ἐπὶ τῷ Κλυταιμνήστρας φόνῳ καὶ ἐξ αὐτοῦ τοὔνομα σχεῖν τὸν τόπον. ἀπῄεσαν δὲ εἰς Δελφοὺς ἐπίσκοποι τῶν ἀναλισκομένων ἐν ταῖς θυσίαις. Ἱερομνήμονας ἔπεμπον εἰς Πυλαίαν καὶ Πυλαγόρας. Ἀριστοφάνης Θεσμοφοριαζούσαις. ἀγαθὰ μεγάλα τῇ πόλει ἥκειν φέροντάς φασι τοὺς Πυλαγόρας καὶ τὸν Ἱερομνήμονα. καὶ εἰσὶν οὗτοι ἱερεῖς γραμματεῖς. μνήμονας γὰρ τούτους ἐκάλουν. φόρτου τε μνήμων καὶ ἐπίσκοπος ἦσιν ὁδαίων.

Bisetvs. Ἦσιν ὁδαίων] γραπτέον ἦσιν ὁδαίων. ἢ, ἦεν ὁδαίων, ἤγουν τῶν ἐφοδίων μνήμων, ἐπίσκοπος, καὶ ἔφορος ἐτύγχανεν.

Σχόλια. Τῆτες.] ἐν τῷδε τῷ ἔτει. οἱ δὲ Δωριεῖς σατὲς φασίν. ὅθεν σατανίους πυροὺς τοὺς μὴ τελεσφοροῦντας. ἀλλὰ πρὸ ὥρας θεριζομένους. Τῆτες ἱερομνημονεῖν.] ἐξέπεμπον γὰρ οἱ Ἀθηναῖοι εἰς Δελφοὺς Ἱερομνήμονας, οἳ πρὸ Πυλαγόρου προειστήκεσαν τῶν ἡμερῶν τοῦ θεοῦ. οὐδεὶς δ' ἱστόρησε κατ' ἐκεῖνον τὸν ἐνιαυτὸν Ἱερομνήμονα εἶναι τὸν Ὑπέρβολον. οὐδ' ἔπω γὰρ διέπρεπε Κλέωνος ἔτι ζῶντος. Μᾶλλον γὰρ οὕτως εἴσεται.] τό γε γὰρ μαθήσεται ὅτι καλόν ἐστι ζῆν αὐτὸν ὡς πρότερον καὶ ὡς ἀνάξιος ἦν.

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ,

Σκηνὴ πρώτη.

Τρίμετροι ἰαμβικοί.

ΣΩΚΡΑΤΗΣ, ΣΤΡΕΨΙΑΔΗΣ.

G

## ACTVS II. SCENA I.

*Senarij Iambici.*

Socrates, Strepsiades.

Bisetvs. Εἴσθεσις διπλῆς ἐκ στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ογ.